θυμόν μου ἐπ᾽ αὐτοὺς ἐν τῇ ἐρήμῳ τοῦ συντελέσαι τὴν ὀργήν μου
ἐπ᾽ αὐτούς· [22]καὶ ἐποίησα ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ 22
βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν, ὧν ἐξήγαγον αὐτοὺς κατ᾽ ὀφθαλ-
μοὺς αὐτῶν. [23]καὶ ἐξῆρα τὴν χεῖρά μου ἐπ᾽ αὐτοὺς ἐν τῇ ἐρήμῳ 23
τοῦ διασκορπίσαι αὐτοὺς ἐν τοῖς ἔθνεσιν καὶ διασπεῖραι αὐτοὺς
ἐν ταῖς χώραις, [24]ἀνθ᾽ ὧν τὰ δικαιώματά μου οὐκ ἐποίησαν καὶ 24
τὰ προστάγματά μου ἀπώσαντο καὶ τὰ σάββατά μου ἐβεβήλουν,
καὶ ὀπίσω τῶν ἐνθυμημάτων τῶν πατέρων αὐτῶν ἦσαν οἱ ὀφθαλ-
μοὶ αὐτῶν. [25]καὶ ἐγὼ ἔδωκα αὐτοῖς προστάγματα οὐ καλὰ καὶ δι- 25
καιώματα ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς. [26]καὶ μιανῶ αὐτοὺς ἐν 26
τοῖς δόμασιν αὐτῶν ἐν τῷ διαπορεύεσθαί με πᾶν διανοῖγον μήτραν
ὅπως ἀφανίσω αὐτούς.

[27]Διὰ τοῦτο λάλησον πρὸς τὸν οἶκον τοῦ Ισραηλ, υἱὲ ἀνθρώπου, 27
καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει κύριος Ἕως τούτου παρώργισάν
με οἱ πατέρες ὑμῶν ἐν τοῖς παραπτώμασιν αὐτῶν, ἐν οἷς παρ-
έπεσον εἰς ἐμέ. [28]καὶ εἰσήγαγον αὐτοὺς εἰς τὴν γῆν, ἣν ἦρα τὴν 28
χεῖρά μου τοῦ δοῦναι αὐτοῖς, καὶ εἶδον πᾶν βουνὸν ὑψηλὸν καὶ
πᾶν ξύλον κατάσκιον καὶ ἔθυσαν ἐκεῖ τοῖς θεοῖς αὐτῶν καὶ ἔταξαν
ἐκεῖ ὀσμὴν εὐωδίας καὶ ἔσπεισαν ἐκεῖ σπονδὰς αὐτῶν. [29]καὶ εἶπον 29
πρὸς αὐτούς Τί ἐστιν Αβαμα, ὅτι ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ; καὶ
ἐπεκάλεσαν τὸ ὄνομα αὐτοῦ Αβαμα ἕως τῆς σήμερον ἡμέρας. [30]διὰ 30
τοῦτο εἰπὸν πρὸς τὸν οἶκον τοῦ Ισραηλ Τάδε λέγει κύριος Εἰ ἐν
ταῖς ἀνομίαις τῶν πατέρων ὑμῶν ὑμεῖς μιαίνεσθε καὶ ὀπίσω τῶν
βδελυγμάτων αὐτῶν ὑμεῖς ἐκπορνεύετε; [31]καὶ ἐν ταῖς ἀπαρχαῖς τῶν 31
δομάτων ὑμῶν ἐν τοῖς ἀφορισμοῖς ὑμεῖς μιαίνεσθε ἐν πᾶσιν τοῖς
ἐνθυμήμασιν ὑμῶν ἕως τῆς σήμερον ἡμέρας. καὶ ἐγὼ ἀποκριθῶ
ὑμῖν, οἶκος τοῦ Ισραηλ; ζῶ ἐγώ, λέγει κύριος, εἰ ἀποκριθήσομαι
ὑμῖν, καὶ εἰ ἀναβήσεται ἐπὶ τὸ πνεῦμα ὑμῶν τοῦτο. [32]καὶ οὐκ ἔσται 32
ὃν τρόπον ὑμεῖς λέγετε Ἐσόμεθα ὡς τὰ ἔθνη καὶ ὡς αἱ φυλαὶ
τῆς γῆς τοῦ λατρεύειν ξύλοις καὶ λίθοις. [33]διὰ τοῦτο ζῶ ἐγώ, λέγει 33
κύριος, ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ καὶ ἐν θυμῷ κε-
χυμένῳ βασιλεύσω ἐφ᾽ ὑμᾶς· [34]καὶ ἐξάξω ὑμᾶς ἐκ τῶν λαῶν καὶ 34

21 επ αυτους paenult. ⌒ ult. A† || 22 εποιησα] pr. ουκ A: cf. 9 | ων] και BQ† || 23 και ult. > Bpau. | διασπειραι] του διασκορπισαι A(†): ex praec. repet. || 26 fin. B†] + ινα γνωσιν οτι εγω κυριος rel. (in *O* sub ※) || 27 κυριος BA*pau.] pr. αδωναι rel.: cf. 3 5 5 || 28 ην] pr. εις Apl. | του > B†: post μου | παν 1° AQ*Bc*C* compl.] παντα rel.: cf. Iud. 7 4 B | ευωδιας] + αυτων Apl. = 𝔐 | σπονδας] pr. τας Amu. || 29 τι] τις B† | αβαμα bis unus cod.] βαμα Q, αβανα B, αββανα A (1° pr. η AQ) || 30 του > B | κυριος B†] + κυριος ο θεος A: cf. 5 || 31 εν 2°] pr. και A | αφορισμοις B†] + (των) υιων υμων εν πυρι uel sim. rel. (in *O* sub ※); post αφορισμοις add. B† οις | κυριος: cf. 3 (1°) || 33 κυριος Bpau.] pr. αδωναι rel.: item in 44, cf. 3 | εν 1° B†] pr. εαν μη Apau., pr. ει μη pau., pr. η μην uel ει μην rel.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/807 UNIVERSITÄT LEIPZIG